**0345-0407 - Iohannes Chrysostomus - De terrae motu**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 059 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

De terrae motu

[00001] ΟΜΙΛΙΑ ΜΕΤΑ ΤΟΝ ΣΕΙΣΜΟΝ.

50.713

[00002] Εἰ καὶ ἡμᾶς ἡ ἀῤῥωστία ἐκώλυσε χορεῦσαι μεθ' ὑμῶν τὴν χορείαν τὴν πνευματικὴν, ἀλλ' ὑμᾶς ὁ κόπος τῆς ὁδοιπορίας οὐκ ἐξέλυσεν.

[00003] Εἰ γὰρ καὶ ὁ κόπος πολλῷ ἱδρῶτι περιῤῥεομένους ὑμᾶς ἐνταῦθα ἤγαγεν, ἀλλ' ἡ τοῦ λόγου διδασκαλία καὶ τὴν ἀῤῥωστίαν τὴν ἡμετέραν εἰς ὑγείαν μετέβαλε, καὶ τὸν ὑμέτερον πόνον διὰ τῆς ψαλμῳδίας παρεμυθήσατο.

[00004] Διὰ δὴ τοῦτο οὔτε αὐτὸς ἀῤῥωστῶν τῇ σιωπῇ τὴν γλῶτταν κατέδησα, οὔτε ὑμεῖς κεκοπωμένοι τῆς ἀκροάσεως ἀπέστητε·

[00005] ἀλλ' ὁμοῦ τε ὁ λόγας ἐφάνη, καὶ ὁ πόνος ἀνεχώρησεν, ὁμοῦ τε ἡ διδασκαλία ἐφάνη, καὶ ὁ κόπος ἐδραπέτευσεν.

[00006] Ἡ μὲν γὰρ ἀῤῥωστία καὶ ὁ πόνος σώματος, ἡ δὲ διδασκαλία τῆς ψυχῆς ἐστι κατόρθωμα καὶ ἰατρεία.

[00007] Ὅσῳ δὲ ψυχὴ σώματος ἀμείνων, τοσοῦτον ἐκείνης τὰ κατορθώματά ἐστι προτιμότερα.

[00008] Διὰ γὰρ τοῦτο οὐ μόνον ἀῤῥωστίας κωλυούσης, ἀλλὰ καὶ μυρίων ἑτέρων κωλυμάτων γινομένων, οὐκ ἀπέστην τοῦ περιπλέκεσθαι ὑμῶν τῇ ἀγάπῃ, οὐκ ἀπεστερήθην οὐδὲ σήμερον τῆς καλῆς ταύτης ἑορτῆς.

[00009] Ἀλλ' ἕως μὲν ἄρτι τῇ κλίνῃ ἦμεν προσηλωμένοι, ὁ δὲ Θεὸς ἡμᾶς οὐ συνεχώρησε τέλεον τῷ λιμῷ διαφθαρῆναι.

[00010] Ὥσπερ γὰρ ὑμῖν λιμὸς τὸ μὴ ἀκούειν, οὕτω καὶ ἐμοὶ λιμὸς τὸ μὴ λέγειν.

[00011] Οὕτω καὶ μήτηρ πολλάκις ἀσθενοῦσα ἕλοιτο ἂν ὑπὸ τοῦ παιδὸς κατατείνεσθαι τὸν μαζὸν, ἢ ὁρᾷν αὐτὸν λιμῷ τηκόμενον·

[00012] συντεινέσθω καὶ ἐμοὶ τὸ σῶμα.

[00013] Τίς γὰρ οὐκ ἂν ἡδέως ὑπὲρ ὑμῶν καὶ τὸ αἷμα ἐκχέοι, ἀνδρῶν οὕτω τῇ εὐλαβείᾳ, οὕτω τῇ φιληκοΐᾳ ζεόντων, οὕτως ἀπὸ μικρᾶς καιροῦ ῥοπῆς τὴν μετάνοιαν ἐπιδειξαμένων;

[00014] Οὐκ οἴδατε ἡμέραν καὶ νύκτα, ἀλλ' ἑκάτερον τὸν καιρὸν ἡμέραν ἐργάζεσθε, οὐ τὸν ἀέρα μεταβαλόντες, ἀλλὰ ταῖς παννυχίσι τὰς νύκτας φωτίζοντες·

[00015] νύκτες ὑμῖν ἄϋπνοι, καὶ τοῦ ὕπνου ἡ τυραννὶς καταλέλυται·

[00016] ὁ γὰρ τοῦ Χριστοῦ πόθος τὸ ἐλάττωμα τῆς φύσεως ἐνίκησεν.

[00017] Ἀπηλλάγητε τοῦ εἶναι ἄνθρωποι τὰ σώματα τῷ μιμεῖσθαι δυνάμεις, ἀγρυπνίαν ἐπιδεικνύμενοι, νηστείαν συντεταμένην, κάματον τοσοῦτον ὁδοιπορίας, κάματον κατὰ τὴν φύσιν, ἄνεσιν κατὰ τὴν προαίρεσιν.

[00018] Οὗτος τῶν φόβων ὁ καρπὸς, αὕτη τοῦ σεισμοῦ ἡ πρόοδος, πρόοδος μηδέποτε δαπανωμένη, πρόοδος καὶ τοὺς πένητας εὐπορωτέρους ἐργαζομένη, καὶ τοὺς πλουσίους πλουτίζουσα·

[00019] οὐκ οἶδε πενίαν, οὐκ οἶδε πλοῦτον.

[00020] Ἦλθεν ὁ σεισμὸς, καὶ τὴν ἀνωμαλίαν τοῦ βίου ἔξω πεποίηκεν.

[00021] Ποῦ νῦν οἱ τὰ σηρικὰ περιβεβλημένοι;

[00022] ποῦ ὁ χρυσός;

[00023] Πάντα ἐκεῖνα οἴχεται, καὶ ἀράχνης εὐτελέστερον διεσπάσθη, καὶ τῶν ἀνθῶν τῶν ἐαρινῶν μᾶλλον ἠλέγχθη.

[00024] Ἀλλ' ἐπειδὴ παρεσκευασμένην ὁρῶ τὴν διάνοιαν τὴν ὑμετέραν, δαψιλεστέραν παραθεῖναι ὑμῖν τράπεζαν βούλομαι.

[00025] Ὁρῶ ὑμῶν τὰ σώματα κεκμηκότα, ἀλλὰ τὴν ψυχὴν νεάζουσαν.

[00026] Πολλαὶ τοῦ ἱδρῶτος αἱ πηγαὶ, ἀλλ' ἀποσμήχουσι τὸ συνειδός.

[00027] Εἰ γὰρ ἀθληταὶ καὶ αἷμα περιῤῥέονται διὰ φύλλα δάφνης, σήμερον διδόμενα, καὶ αὔριον μαραινόμενα, πολλῷ μᾶλλον ὑμᾶς εἰς τὸν ἀγῶνα τῶν κατορθωμάτων εἰσελθόντας δεῖ μὴ ἐνδοῦναι τῶν πόνων τῶν ὑπὲρ τῆς ἀρετῆς, μηδὲ καταμαλακίζεσθαι.

[00028] Τὸ θέατρον τὸ ὑμέτερον ἐμοὶ στέφανος, [50.714] καὶ εἷς ὑμῶν ἀκροατὴς ἀντίῤῥοπος τῇ πόλει.

[00029] Τινὲς μὲν γὰρ κρατῆρας ἐστέψαντο, ἄλλοι δὲ συμπόσια συνήγαγον Σατανικὰ, ἄλλοι δὲ δαψιλῆ παρεσκεύασαν τράπεζαν·

[00030] ὑμεῖς δὲ παννυχίδα τοσαύτην ἐπετελέσατε, καὶ τὴν πόλιν πᾶσαν τῇ βάσει τῶν ἁγίων ὑμῶν ποδῶν ἐξεκαθάρατε, τῷ περιπάτῳ τὴν ἀγορὰν ἀναμετρήσαντες, καὶ τὸν ἀέρα ἅγιον ἐργασάμενοι.

[00031] Γίνεται γὰρ καὶ ὁ ἀὴρ ἅγιος ἀπὸ ψαλμῳδίας, ὡς ἠκούσατε σήμερον

[00032] Επιτρέπετα

[00033] λέγοντος τοῦ Θεοῦ τῷ Μωϋσῇ·

[00034] Ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας γῆ ἁγία ἐστίν.

[00035] Ἡγιάσατε τὸ ἔδαφος, τὴν ἀγορὰν, τὴν πόλιν ἡμῖν ἐκκλησίαν ἐποιήσατε.

[00036] Καὶ καθάπερ χείμαῤῥος παραῤῥέων·

[00037] καὶ πολλῷ τῷ ῥείθρῳ φερόμενος ἅπαντα ἀνατρέπει, οὕτω δὴ καὶ ὁ χείμαῤῥος ὁ πνευματικὸς, ὁ ποταμὸς τοῦ Θεοῦ, ὁ εὐφραίνων τὴν πόλιν τοῦ Θεοῦ, ἐπληρώθη ὑδάτων, καὶ τὸν βόρβορον τῆς ἀσεβείας ἐξεκάθαρεν.

[00038] Οὐδεὶς ἀσελγὴς, μᾶλλον δὲ καὶ εἴ τις ἀσελγὴς ἐστι μεταβάλλεται.

[00039] Ἀκούει τῆς φωνῆς, καὶ μεταῤῥυθμίζεται ἡ διάνοια, εἰσέρχεται ἡ μελῳδία, καὶ μεταβάλλεται ἡ ἀσέβεια, δραπετεύει τῆς πλεονεξίας τὰ πάθη.

[00040] Εἰ γὰρ καὶ μὴ δραπετεύει, ἀλλὰ καθάπερ τὰ θηρία τὰ ἄγρια χειμῶνι φωλεύει, οὕτως ἡ διάνοια ἡ ἀσελγοῦσα κατορύττεται, καὶ καθάπερ οἱ ὄφεις, τοῦ κρυμοῦ πηγνύντος αὐτῶν τὰ σώματα ἐπὶ τὰ κάτω δύνουσιν, οὕτω δὴ τὰ πάθη ταῦτα, τὰ ἀνελεύθερα καὶ ἀνδραποδώδη, καθάπερ εἰς βυθόν τινα οὕτω συγκαλύπτεται.

[00041] Ἀμέλει καὶ αὐτοὶ αἰσχύνονται οἱ περιφέροντες αὐτά·

[00042] περιφέρουσι μὲν γὰρ, νεκρὰ δέ.

[00043] Ἀντὶ γὰρ χειμῶνος αὐτοῖς ἡ μελῳδία ὑμῶν γίνεται.

[00044] Εἰσέρχεται εἰς ἀκοὴν τοῦ πλεονέκτου ἡ φωνὴ, κἂν μὴ ἐκβάλλῃ τὸ πάθος, ἀλλὰ νεκροῖ τὸ πάθος·

[00045] εἰσέρχεται εἰς τὴν ἀκοὴν τοῦ ἀσελγοῦς καὶ ὑπερηφάνου, κἂν μὴ ἀποκτείνῃ τὴν ἀσέλγειαν καὶ τὴν ὑπερηφανίαν, κατορύττει τὴν ἀσέλγειάν τε καὶ τὴν ὑπερηφανίαν.

[00046] Οὐ μικρὸν δὲ τὸ μὴ παῤῥησιάζεσθαι τὴν κακίαν.

[00047] Εἶπον καὶ χθὲς ὅτι μέγας ὁ καρπὸς ὁ ἀπὸ τῶν σεισμῶν.

[00048] Εἴδετε Δεσπότου φιλανθρωπίαν σείοντος πόλιν καὶ στηρίζοντος διάνοιαν;

[00049] σαλεύοντος θεμέλια, καὶ πηγνύοντος φρονήματα;

[00050] σαθρὰν ἐργαζομένου τὴν πόλιν, καὶ ἰσχυροποιοῦντος τὴν γνώμην;

[00051] Ἐννόησον αὐτοῦ τὴν φιλανθρωπίαν·

[00052] ἔσεισεν ὀλίγον, καὶ διηνεκῶς ἔπηξεν·

[00053] ὁ σεισμὸς εἰς δύο ἡμέρας, ἡ δὲ εὐλάβεια μενέτω εἰς πάντα τὸν χρόνον·

[00054] πρὸς ὀλίγον ἐλυπήθητε, ἀλλὰ διηνεκῶς ἐῤῥιζώθητε.

[00055] Εὖ γὰρ οἶδα ὅτι τῷ φόβῳ τοῦ Θεοῦ ἡ εὐλάβεια ὑμῶν ῥίζαν ἔλαβε·

[00056] κἂν γένηται ἄνεσις, μένει ὁ καρπός.

[00057] Οὐκέτι ἄκανθαι αἱ πνίγουσαι, οὐδὲ βροχὴ ἐπικλύζουσα ἀποπλύνει·

[00058] καλῶς ἐγεώργησεν ὑμᾶς ὁ φόβος, σύμμαχός μου τῶν λόγων γέγονεν.

[00059] Ἐγὼ σιγῶ καὶ τὰ θεμέλια φθέγγεται·

[00060] ἐγὼ σιωπῶ καὶ ὁ σεισμὸς σάλπιγγος λαμπροτέραν ἀφίησι φωνὴν, ταῦτα λέγων·

[00061] Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος·

[00062] παρεγενόμην, οὐχ ἵνα ὑμᾶς καταχώσω, ἀλλ' ἵνα ὑμᾶς νευρώσω.

[00063] Ταῦτα ὁ σεισμὸς λέγει, καὶ φωνὴν ἀφίησιν·

[00064] ἐφόβησα ὑμᾶς, οὐχ ἵνα λυπήσω, ἀλλ' ἵνα ἀκριβεστέρους ἐργάσωμαι.

[00065] Προσέχετε μετὰ ἀκριβείας τῷ λόγῳ·

[00066] ἐπειδὴ ἠτόνησεν ὁ λόγος, ἐβόησεν ἡ τιμωρία, ἐπεὶ ἔκαμεν ἡ διδασκαλία, [50.715] συνεμάχησεν ὁ φόβος.

[00067] Ταῦτα διαλεγόμενος ὑμῖν πρὸς ὀλίγον ἔρχομαι, καὶ ποιῶ τὸ ἐμαυτοῦ·

[00068] ὅταν ὑμᾶς σφίγξω, τότε παραδίδωμι τῷ λόγῳ, ἵνα μὴ κάμνῃ ὁ λόγος·

[00069] λίθους εὑρίσκων καὶ ἀκάνθας φυομένας, καθαρὰν ποιῶ τὴν ἄρουραν, ἵν' ὁ λόγος δαψιλεῖ τῇ χειρὶ καταβάλλῃ τὰ σπέρματα.

[00070] Τί ἐβλάβητε πρὸς ὀλίγον λυπηθέντες;

[00071] Ἄγγελοι ἀντὶ ἀνθρώπων ἐγένεσθε·

[00072] πρὸς οὐρανὸν μετέστητε, εἰ καὶ μὴ τῷ τόπῳ, ἀλλὰ τῷ τρόπῳ.

[00073] Καὶ ὅτι οὐ κολακεύων λέγω ταῦτα, μαρτυρεῖ τὰ πράγματα.

[00074] Τί γὰρ ἐνελείπετε εἰς τὸν τῆς μετανοίας λόγον;

[00075] Φθόνον ἐξεβάλετε, τὰ ἀνελεύθερα πάθη ἐξωρίσατε, τὴν ἀρετὴν κατεφυτεύσατε, ὁλόκληρον τὴν νύκτα παννυχίσιν ἁγίαις εὐτονήσαντες, ἀγάπῃ πολλῇ καὶ ἐπιτεταμένῃ διαθέσει.

[00076] Οὐδεὶς τόκων μέμνηται, οὐδεὶς περὶ πλεονεξίας διαλέγεται, οὐδ' αἱ χεῖρες ἁμαρτημάτων καθαραὶ μόνον, ἀλλὰ καὶ ἡ γλῶσσα ἀπηλλαγμένη παρανομίας καὶ λοιδορίας·

[00077] οὐδεὶς ὑβρίζει τὸν πλησίον, οὐδεὶς ἐπὶ συμπόσια ἀπέρχεται Σατανικά·

[00078] αἱ οἰκίαι καθαραὶ, ἡ ἀγορὰ ἀπεσμηγμένη·

[00079] ἑσπέρα καταλαμβάνει, καὶ οὐδαμοῦ χοροὶ νεανίσκων τὰ τοῦ θεάτρου ᾄδοντες ᾄσματα.

[00080] Ἀλλ' εἰσὶ χοροὶ μὲν, οὐκ ἀσελγείας δὲ, χοροὶ μὲν, ἀλλὰ κατορθωμάτων·

[00081] καὶ ἔστιν ἐν ἀγορᾷ ὑμνῳδίας ἀκοῦσαι, καὶ οἴκοι καθημένων, τοῦ μὲν ψάλλοντος, τοῦ δὲ ὑμνοῦντος·

[00082] καταλαμβάνει νὺξ, καὶ πάντες

[00083] Επιτρέπετα

[00084] ἐπὶ τὴν ἐκκλησίαν, τὸν λιμένα τὸν ἀκύμαντον, τὴν γαλήνην τὴν ἀπηλλαγμένην κυμάτων.

[00085] Ἐνόμιζον ἐγὼ ὅτι μετὰ μίαν καὶ δευτέραν ἡμέραν ἡ ἀγρυπνία διέλυσεν ὑμῶν τὰ σώματα·

[00086] νῦν δὲ ὅσῳ ἐπιτείνεται ἡ ἀγρυπνία, τοσούτῳ αὔξεται ὑμῶν ὁ πόθος.

[00087] Οἱ ψάλλοντες ὑμῖν ἀπέκαμον, καὶ ὑμεῖς νεάζετε·

[00088] οἱ ψάλλοντες ὑμῖν ἠτόνησαν, καὶ ὑμεῖς ἐνευρώθητε.

[00089] Ποῦ νῦν οἱ πλούσιοι, εἰπέ μοι;

[00090] μανθανέτωσαν τῶν πενήτων τὴν φιλοσοφίαν.

[00091] Ἐκεῖνοι καθεύδουσιν, οἱ δὲ πένητες ἐπὶ ἐδάφους οὐ καθεύδουσιν, ἀλλὰ γόνατα κάμπτουσι, Παῦλον καὶ Σίλαν μιμούμενοι.

[00092] Ἀλλ' [50.716] ἐκεῖνοι μὲν ἔψαλλον, καὶ τὸ δεσμωτήριον ἔσεισαν, ὑμεῖς δὲ ψάλλετε, καὶ σειομένην τὴν πόλιν ἐστήσατε.

[00093] Ἀπεναντίας τῶν πραγμάτων τὰ τέλη, ἀλλ' ἑκάτερα ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης εἰσίν.

[00094] Ἐκεῖνος μὲν γὰρ τὸ δεσμωτήριον ἔσεισεν, ἵνα σαλεύσῃ τῶν ἀπίστων τὴν διάνοιαν, ἵνα λύσῃ τὸν δεσμοφύλακα, ἵνα καταγγείλῃ τὸν λόγον τοῦ Θεοῦ·

[00095] ἐστήσατε ὑμεῖς τὴν πόλιν, ἵνα λύσητε τὴν ὀργὴν τοῦ Θεοῦ·

[00096] καὶ ἐκεῖνα καὶ ταῦτα διαφόρως ᾠκονομήθη.

[00097] Ἀλλ' ὅμως χαίρω, οὐχ ὅτι ἔστη ἡ πόλις, ἀλλ' ὅτι διὰ τῶν εὐχῶν ὑμῶν ἔστη, ὅτι θεμέλια γεγόνασιν αἱ ψαλμῳδίαι ὑμῶν.

[00098] Ἄνωθεν ἡ ὀργὴ, καὶ κάτωθεν ὑμῶν ἡ φωνή·

[00099] τὴν ἄνωθεν ῥέουσαν ὀργὴν ἡ κάτωθεν ἀναπεμπομένη φωνὴ ἀνέστειλεν.

[00100] Ἠνοίγησαν οἱ οὐρανοὶ, καὶ κατηνέχθη ἀπόφασις, τὸ ξίφος ἠκονημένον·

[00101] ἡ πόλις ἐπὶ τοῦ ἐδάφους, ἡ ὀργὴ ἀπαραίτητος.

[00102] Οὐδενὸς χρείαν ἔσχομεν, ἀλλὰ μετανοίας, ἀλλὰ δακρύων καὶ στεναγμῶν, καὶ πάντα ἐλύθη·

[00103] Θεὸς ἀπεφήνατο, καὶ ἡμεῖς τὴν ὀργὴν ἐλύσαμεν.

[00104] Οὐκ ἄν τις ἁμάρτοι κηδεμόνας ὑμᾶς καὶ σωτῆρας τῆς πόλεως προσειπών.

[00105] Ποῦ οἱ ἄρχοντες;

[00106] ποῦ οἱ μεγάλοι σωτῆρες;

[00107] Ὄντως τῆς πόλεως ὑμεῖς καὶ πύργοι, καὶ τεῖχος, καὶ ἀσφάλεια.

[00108] Ἐκεῖνοι μὲν γὰρ διὰ τῆς ἑαυτῶν κακίας τὴν πόλιν ἐσάθρωσαν, ὑμεῖς διὰ τῆς οἰκείας ἀρετῆς τὴν πόλιν ἐστήσατε.

[00109] Κἂν ἐρωτηθῇ τις, πόθεν ἐσείσθη ἡ πόλις, κἂν ἐκεῖνος μὴ εἴπῃ, ὡμολόγηται ὅτι διὰ τὰς ἁμαρτίας, διὰ τὰς πλεονεξίας, διὰ τὰς ἀδικίας.

[00110] διὰ τὰς παρανομίας, διὰ τὰς ὑπερηφανίας, διὰ τὰς ἡδονὰς, διὰ τὸ ψεῦδος.

[00111] Τίνος δέ;

[00112] τῶν πλουσίων.

[00113] Πάλιν ἂν ἐρωτηθῇ τις πόθεν ἔστη ἡ πόλις, ὡμολόγηται ὅτι διὰ τὰς ψαλμῳδίας, διὰ τὰς εὐχὰς, διὰ τὰς παννυχίδας.

[00114] Ταῦτα δὲ τίνων;

[00115] τῶν πενήτων.

[00116] Τὰ σαλεύσαντα τὴν πόλιν ἐκείνων, τὰ δὲ στήσαντα ὑμέτερα·

[00117] ὥστε ὑμεῖς σωτῆρες καὶ κηδεμόνες ἐγένεσθε.

[00118] Ἀλλ' ἐνταῦθα τὸν λόγον καταλύσωμεν ταῖς παννυχίσιν ἐπιμένοντες, ταῖς ψαλμῳδίαις, δόξαν ἀναπέμποντες τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00119] Ἀμήν.

[00120] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - De terrae motu**

**Litterarum Omnium Conspectus: 116 Litterae, quae repetitae sunt in 7,369 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 579 | Α | 0913 | 2 |
| β | 0946 | 35 | Β | 0914 | 0 |
| γ | 0947 | 129 | Γ | 0915 | 1 |
| δ | 0948 | 142 | Δ | 0916 | 0 |
| ε | 0949 | 435 | Ε | 0917 | 13 |

| | | | | | |
|---|---|---|---|---|---|
| ζ | 0950 | 20 | Ζ | 0918 | 0 |
| η | 0951 | 112 | Η | 0919 | 0 |
| θ | 0952 | 89 | Θ | 0920 | 9 |
| ι | 0953 | 289 | Ι | 0921 | 3 |
| κ | 0954 | 244 | Κ | 0922 | 4 |
| λ | 0955 | 266 | Λ | 0923 | 1 |
| μ | 0956 | 264 | Μ | 0924 | 4 |
| ν | 0957 | 625 | Ν | 0925 | 2 |
| ξ | 0958 | 17 | Ξ | 0926 | 0 |
| ο | 0959 | 404 | Ο | 0927 | 14 |
| π | 0960 | 228 | Π | 0928 | 10 |
| ϱ | 0961 | 247 | Ρ | 0929 | 0 |
| ς | 0962 | 261 | • | 0930 | 0 |
| σ | 0963 | 238 | Σ | 0931 | 5 |
| τ | 0964 | 545 | Τ | 0932 | 12 |
| υ | 0965 | 84 | ϒ | 0933 | 1 |
| φ | 0966 | 51 | Φ | 0934 | 1 |
| χ | 0967 | 52 | Χ | 0935 | 1 |
| ψ | 0968 | 18 | Ψ | 0936 | 0 |
| ω | 0969 | 112 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 14 | | | 0 |
| ῥ | 8165 | 18 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 91 | έ | 8051 | 114 | ή | 8053 | 29 | ί | 8055 | 127 | ό | 8057 | 94 | ύ | 8059 | 53 | ώ | 8061 | 21 |
| ὰ | 8048 | 90 | ὲ | 8050 | 34 | ὴ | 80852 | 76 | ὶ | 8054 | 115 | ὸ | 8056 | 60 | ὺ | 8058 | 4 | ὼ | 8060 | 3 |
| ᾶ | 8118 | 16 | | | 0 | ῆ | 8134 | 30 | ῖ | 8150 | 36 | | | 0 | ῦ | 8166 | 72 | ῶ | 8182 | 57 |
| ἀ | 7936 | 103 | ἐ | 7952 | 82 | ἠ | 7968 | 5 | ἰ | 7984 | 29 | ὀ | 8000 | 9 | ὐ | 8016 | 47 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 7 | ἑ | 7953 | 6 | ἡ | 7969 | 40 | ἱ | 7985 | 18 | ὁ | 8001 | 36 | ὑ | 8017 | 55 | ὡ | 8033 | 3 |
| ἂ | 7938 | 8 | ἒ | 7954 | 0 | ἢ | 7970 | 1 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 13 | ἔ | 7956 | 15 | ἤ | 7972 | 1 | ἴ | 7988 | 6 | ὄ | 8004 | 1 | ὔ | 8020 | 4 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 3 | ἕ | 7957 | 3 | ἥ | 7973 | 0 | ἵ | 7989 | 10 | ὅ | 8005 | 12 | ὕ | 8021 | 11 | ὥ | 8037 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 5 | | | 0 | ὖ | 8022 | 1 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 3 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 1 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 2 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 2 | | | 0 | ῃ | 8131 | 12 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 19 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 2 | | | 0 | ῇ | 8135 | 13 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 19 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - De terrae motu**
**Verborum Omnium Conspectus: 722Verba, quae repetita sunt in 1,442,910 occasionibus**

---

**ἀγάπῃ** [00008] [00075]
**Ἄγγελοι** [00071]
**ἁγία** [00034]
**ἁγίαις** [00075]
**ἅγιον** [00030]
**ἅγιος** [00031]
**ἁγίῳ** [00118]
**ἁγίων** [00030]
**ἀγορὰ** [00078]
**ἀγορᾷ** [00081]
**ἀγορὰν** [00030] [00035]
**ἄγρια** [00040]
**ἀγρυπνία** [00085] [00086]
**ἀγρυπνίαν** [00017]
**ἀγῶνα** [00027]
**ἀδικίας** [00109]
**ᾄδοντες** [00079]
**ἀεὶ** [00118]
**ἀέρα** [00014] [00030]
**ἀὴρ** [00031]
**ἀθληταὶ** [00027]
**αἵ** [00026] [00057] [00076] [00078] [00097]
**αἷμα** [00013] [00027]
**αἰσχύνονται** [00041]
**αἰῶνας** [00118]
**αἰώνων** [00118]
**ἄκανθαι** [00057]
**ἀκάνθας** [00069]
**ἀκοὴν** [00044] [00045]
**Ἀκούει** [00039]
**ἀκούειν** [00010]
**ἀκοῦσαι** [00081]
**ἀκριβείας** [00065]
**ἀκριβεστέρους** [00064]
**ἀκροάσεως** [00004]
**ἀκροατὴς** [00028]
**ἀκύμαντον** [00084]
**ἀλλ** [00002] [00003] [00005] [00014] [00026] [00062] [00064] [00093] [00097]
**Ἀλλ** [00009] [00024] [00080] [00092] [00097] [00118]
**ἀλλὰ** [00008] [00014] [00025] [00040] [00044] [00054] [00072] [00076] [00080] [00091] [00102] [00102]
**ἄλλοι** [00029] [00029]
**ἁμαρτημάτων** [00076]
**ἁμαρτίας** [00109]
**ἁμάρτοι** [00104]
**ἀμείνων** [00007]
**Ἀμέλει** [00041]
**Ἀμήν** [00119]
**ἂν** [00011] [00013] [00113]
**ἄν** [00104]

**ἀναμετρήσαντες** [00030]
**ἀναπεμπομένη** [00099]
**ἀναπέμποντες** [00118]
**ἀνατρέπει** [00037]
**ἀνδραποδώδη** [00040]
**ἀνδρῶν** [00013]
**ἀνελεύθερα** [00040] [00075]
**ἄνεσιν** [00017]
**ἄνεσις** [00056]
**ἀνέστειλεν** [00099]
**ἀνεχώρησεν** [00005]
**ἄνθρωποι** [00017]
**ἀνθρώπων** [00071]
**ἀνθῶν** [00023]
**ἀντὶ** [00071]
**Ἀντὶ** [00043]
**ἀντίῤῥοπος** [00028]
**ἄνωθεν** [00099]
**Ἄνωθεν** [00098]
**ἀνωμαλίαν** [00020]
**ἅπαντα** [00037]
**ἀπαραίτητος** [00101]
**ἀπέκαμον** [00087]
**Ἀπεναντίας** [00093]
**ἀπέρχεται** [00077]
**ἀπεσμηγμένη** [00078]
**ἀπεστερήθην** [00008]
**ἀπέστην** [00008]
**ἀπέστητε** [00004]
**ἀπεφήνατο** [00103]
**Ἀπηλλάγητε** [00017]
**ἀπηλλαγμένη** [00076]
**ἀπηλλαγμένην** [00084]
**ἀπίστων** [00094]
**ἀποκτείνῃ** [00045]
**ἀποπλύνει** [00057]
**ἀποσμήχουσι** [00026]
**ἀπόφασις** [00100]
**ἀράχνης** [00023]
**ἀρετὴν** [00075]
**ἀρετῆς** [00027] [00108]
**ἄρουραν** [00069]
**ἀῤῥωστία** [00002] [00006]
**ἀῤῥωστίαν** [00003]
**ἀῤῥωστίας** [00008]
**ἀῤῥωστῶν** [00004]
**ἄρτι** [00009]
**ἄρχοντες** [00105]
**ἀσέβεια** [00039]
**ἀσεβείας** [00037]
**ἀσέλγειάν** [00045]
**ἀσέλγειαν** [00045]
**ἀσελγείας** [00080]
**ἀσελγὴς** [00038]
**ἀσελγής** [00038]
**ἀσελγοῦς** [00045]
**ἀσελγοῦσα** [00040]
**ἀσθενοῦσα** [00011]
**ᾄσματα** [00079]
**ἀσφάλεια** [00107]
**αὔξεται** [00086]
**ἄϋπνοι** [00015]
**αὔριον** [00027]
**αὐτά** [00041]
**αὕτη** [00018]
**αὐτοὶ** [00041]
**αὐτοῖς** [00043]
**αὐτὸν** [00011]
**αὐτὸς** [00004]
**αὐτοῦ** [00051]
**αὐτῶν** [00040]
**ἀφίησι** [00060]
**ἀφίησιν** [00063]

**βάσει** [00030]
**βίου** [00020]
**βόρβορον** [00037]
**βούλομαι** [00024]
**βροχὴ** [00057]
**βυθόν** [00040]

**γαλήνην** [00084]
**γὰρ** [00003] [00006] [00008] [00010] [00013] [00016] [00027] [00029] [00031] [00034] [00040] [00042] [00043] [00055] [00074] [00094] [00108]
**γεγόνασιν** [00097]
**γέγονεν** [00058]
**γένηται** [00056]
**γῆ** [00034]
**Γίνεται** [00031]
**γίνεται** [00043]
**γινομένων** [00008]
**γλῶσσα** [00076]
**γλῶτταν** [00004]
**γνώμην** [00050]
**γόνατα** [00091]

**δακρύων** [00102]
**δαπανωμένη** [00018]
**δάφνης** [00027]
**δαψιλεῖ** [00069]
**δαψιλεστέραν** [00024]
**δαψιλῆ** [00029]
**δὲ** [00006] [00007] [00009] [00029] [00029] [00030] [00038] [00046] [00053] [00080] [00081] [00086] [00091] [00092] [00114] [00116]
**δέ** [00042] [00111]
**δεῖ** [00027]
**δεσμοφύλακα** [00094]
**δεσμωτήριον** [00092] [00094]
**Δεσπότου** [00048]
**δευτέραν** [00085]
**δὴ** [00004] [00037] [00040]
**Διὰ** [00004] [00008]

**διὰ** [00003] [00027] [00097] [00108] [00108] [00109] [00109] [00109] [00110] [00110] [00110] [00110] [00113] [00113] [00113]
**διαθέσει** [00075]
**διαλέγεται** [00076]
**διαλεγόμενος** [00067]
**διάνοια** [00039] [00040]
**διάνοιαν** [00024] [00048] [00094]
**διαφθαρῆναι** [00009]
**διαφόρως** [00096]
**διδασκαλία** [00003] [00005] [00006] [00066]
**διδόμενα** [00027]
**διέλυσεν** [00085]
**διεσπάσθη** [00023]
**διηνεκῶς** [00052] [00054]
**δόξαν** [00118]
**δόξης** [00093]
**δραπετεύει** [00039] [00040]
**δυνάμεις** [00017]
**δύνουσιν** [00040]
**δύο** [00053]

**ἐαρινῶν** [00023]
**ἑαυτῶν** [00108]
**ἐβλάβητε** [00070]
**ἐβόησεν** [00066]
**ἐγένεσθε** [00071] [00117]
**ἐγεώργησεν** [00058]
**ἐγὼ** [00060] [00085]
**Ἐγὼ** [00059]
**ἔδαφος** [00035]
**ἐδάφους** [00091] [00101]
**ἐδραπέτευσεν** [00005]
**Εἰ** [00002] [00003] [00027] [00040]
**εἰ** [00072]
**εἴ** [00038]
**Εἴδετε** [00048]
**εἶναι** [00017]
**εἰπέ** [00089]
**εἴπῃ** [00109]
**Εἶπον** [00047]
**εἰς** [00003] [00027] [00040] [00044] [00045] [00053] [00053] [00074] [00118]
**εἷς** [00028]
**εἰσελθόντας** [00027]
**Εἰσέρχεται** [00044]
**εἰσέρχεται** [00039] [00045]
**εἰσὶ** [00080]
**εἰσίν** [00093]
**ἔκαμεν** [00066]
**ἑκάτερα** [00093]
**ἑκάτερον** [00014]
**ἐκβάλλῃ** [00044]
**ἐκεῖνα** [00023] [00096]
**ἐκείνης** [00007]
**ἐκεῖνοι** [00092]
**Ἐκεῖνοι** [00091] [00108]
**ἐκεῖνος** [00109]
**Ἐκεῖνος** [00094]
**ἐκείνων** [00116]
**ἐκκλησίαν** [00035] [00084]
**ἐκχέοι** [00013]
**ἐκώλυσε** [00002]
**ἔλαβε** [00055]
**ἐλάττωμα** [00016]
**ἐλεήμων** [00061]
**ἕλοιτο** [00011]
**ἐλύθη** [00102]
**ἐλυπήθητε** [00054]
**ἐλύσαμεν** [00103]
**ἐμαυτοῦ** [00067]
**ἐμοὶ** [00010] [00012] [00028]
**ἐν** [00034] [00081]
**ἐνδοῦναι** [00027]
**ἐνελείπετε** [00074]
**ἐνευρώθητε** [00088]
**ἐνίκησεν** [00016]
**Ἐννόησον** [00051]
**Ἐνόμιζον** [00085]
**ἐνταῦθα** [00003] [00118]
**ἐξεβάλετε** [00075]
**ἐξεκαθάρατε** [00030]
**ἐξεκάθαρεν** [00037]
**ἐξέλυσεν** [00002]
**ἔξω** [00020]
**ἐξωρίσατε** [00075]
**ἑορτῆς** [00008]
**ἐπεὶ** [00066]
**ἐπειδὴ** [00024] [00066]
**ἐπετελέσατε** [00030]
**ἔπηξεν** [00052]
**ἐπὶ** [00040] [00077] [00084] [00091] [00101]
**ἐπιδεικνύμενοι** [00017]
**ἐπιδειξαμένων** [00013]
**ἐπικλύζουσα** [00057]
**ἐπιμένοντες** [00118]
**ἐπιτείνεται** [00086]
**ἐπιτεταμένῃ** [00075]
**Επιτρέπετα** [00032] [00083] [00120]
**ἐπληρώθη** [00037]
**ἐποιήσατε** [00035]
**ἐργάζεσθε** [00014]
**ἐργαζομένη** [00018]
**ἐργαζομένου** [00050]
**ἐργασάμενοι** [00030]
**ἐργάσωμαι** [00064]
**ἐῤῥιζώθητε** [00054]
**ἔρχομαι** [00067]
**ἐρωτηθῇ** [00109] [00113]
**ἐσάθρωσαν** [00108]
**ἔσεισαν** [00092]
**ἔσεισεν** [00052] [00094]
**ἐσείσθη** [00109]
**ἑσπέρα** [00079]
**ἐστέψαντο** [00029]
**ἔστη** [00097] [00097] [00113]
**ἕστηκας** [00034]

ἐστήσατε [00092] [00095] [00108]
ἐστι [00006] [00007] [00038]
ἐστίν [00034]
ἔστιν [00081]
ἔσχομεν [00102]
ἑτέρων [00008]
Εὐ [00055]
εὐλάβεια [00053] [00055]
εὐλαβείᾳ [00013]
εὐπορωτέρους [00018]
εὑρίσκων [00069]
εὐτελέστερον [00023]
εὐτονήσαντες [00075]
εὐφραίνων [00037]
εὐχὰς [00113]
εὐχῶν [00097]
ἐφάνη [00005] [00005]
ἐφόβησα [00064]
ἔψαλλον [00092]
ἕως [00009]

ζεόντων [00013]

ἡ [00002] [00003] [00005] [00006] [00015] [00018] [00039] [00039] [00039] [00040] [00040] [00043] [00044] [00053] [00055] [00066] [00066] [00076] [00078] [00085] [00086] [00097] [00098] [00098] [00099] [00101] [00101] [00109] [00113]
ἢ [00011]
Ἡ [00006]
ἤγαγεν [00003]
Ἡγιάσατε [00035]
ἡδέως [00013]
ἡδονὰς [00110]
ἠκονημένον [00100]
ἠκούσατε [00031]
ἠλέγχθη [00023]
Ἦλθεν [00020]
ἡμᾶς [00002] [00009]
ἡμεῖς [00103]
ἦμεν [00009]
ἡμέραν [00014] [00014] [00085]
ἡμέρας [00053]
ἡμετέραν [00003]
ἡμῖν [00035]
Ἠνοίγησαν [00100]
ἠτόνησαν [00088]
ἠτόνησεν [00066]

θέατρον [00028]
θεάτρου [00079]
θεμέλια [00049] [00059] [00097]
Θεὸς [00009] [00103]
Θεοῦ [00033] [00037] [00037] [00055] [00093] [00094] [00095]
θηρία [00040]

ἰατρεία [00006]
ἱδρῶτι [00003]
ἱδρῶτος [00026]
ἵν [00069]
ἵνα [00062] [00062] [00064] [00064] [00068] [00094] [00094] [00094] [00095]
ἰσχυροποιοῦντος [00050]

καθάπερ [00036] [00040] [00040] [00040]
καθαραὶ [00076] [00078]
καθαρὰν [00069]
καθεύδουσιν [00091] [00091]
καθημένων [00081]
καιρὸν [00014]
καιροῦ [00013]
κακίαν [00046]
κακίας [00108]
καλῆς [00008]
καλῶς [00058]
κάματον [00017] [00017]
κάμνῃ [00068]
κάμπτουσι [00091]
Κἂν [00109]
κἂν [00044] [00045] [00056] [00109]
καρπὸς [00018] [00047]
καρπός [00056]
καταβάλλῃ [00069]
καταγγείλῃ [00094]
καταλαμβάνει [00079] [00082]
καταλέλυται [00015]
καταλύσωμεν [00118]
καταμαλακίζεσθαι [00027]
κατατείνεσθαι [00011]
καταχώσω [00062]
κατέδησα [00004]
κατεφυτεύσατε [00075]
κατηνέχθη [00100]
κατόρθωμα [00006]
κατορθώματά [00007]
κατορθωμάτων [00027] [00080]
κατορύττει [00045]
κατορύττεται [00040]
κάτω [00040]
κάτωθεν [00098] [00099]
κεκμηκότα [00025]
κεκοπωμένοι [00004]
κηδεμόνας [00104]
κηδεμόνες [00117]
κλίνῃ [00009]
κολακεύων [00073]
κόπος [00002] [00003] [00005]
κρατῆρας [00029]
κρυμοῦ [00040]
κυμάτων [00084]
Κύριος [00061]

κωλυμάτων [00008]
κωλυούσης [00008]

λαμπροτέραν [00060]
λέγει [00063]
λέγειν [00010]
λέγοντος [00033]
λέγω [00073]
λέγων [00060]
λίθους [00069]
λιμένα [00084]
λιμὸς [00010] [00010]
λιμῷ [00009] [00011]
λόγας [00005]
λόγον [00074] [00094] [00118]
λόγος [00066] [00068] [00069]
λόγου [00003]
λόγῳ [00065] [00068]
λόγων [00058]
λοιδορίας [00076]
λυπηθέντες [00070]
λυπήσω [00064]
λύση [00094]
λύσητε [00095]

μαζὸν [00011]
μακρόθυμος [00061]
μᾶλλον [00023] [00027] [00038]
μανθανέτωσαν [00090]
μαραινόμενα [00027]
μαρτυρεῖ [00073]
μεγάλοι [00106]
μέγας [00047]
μεθ [00002]
μελῳδία [00039] [00043]
μέμνηται [00076]
μὲν [00006] [00009] [00029] [00042] [00080] [00080] [00081] [00092] [00094] [00108]
μένει [00056]
μενέτω [00053]
μεταβάλλεται [00038] [00039]
μεταβαλόντες [00014]
μετάνοιαν [00013]
μετανοίας [00074] [00102]
μεταῤῥυθμίζεται [00039]
μετέβαλε [00003]
μετέστητε [00072]
μηδὲ [00027]
μηδέποτε [00018]
μήτηρ [00011]
μίαν [00085]
μικρᾶς [00013]
μικρὸν [00046]
μιμεῖσθαι [00017]
μιμούμενοι [00091]
μοι [00089]
μόνον [00008] [00076]
μου [00058]
μυρίων [00008]
Μωϋσῇ [00033]

νεάζετε [00087]
νεάζουσαν [00025]
νεανίσκων [00079]
νεκρὰ [00042]
νεκροὶ [00044]
νευρώσω [00062]
νηστείαν [00017]
νύκτα [00014] [00075]
νύκτας [00014]
νύκτες [00015]
νῦν [00021] [00086] [00089] [00118]
νὺξ [00082]

ξίφος [00100]

ὁ [00002] [00003] [00005] [00005] [00005] [00006] [00009] [00016] [00018] [00020] [00022] [00031] [00037] [00037] [00037] [00037] [00047] [00047] [00053] [00056] [00058] [00060] [00061] [00063] [00066] [00066] [00068] [00069] [00086]
Ὁ [00034]
ὁδοιπορίας [00002] [00017]
Οἱ [00087]
οἱ [00021] [00040] [00041] [00088] [00089] [00091] [00100] [00105] [00106]
οἶδα [00055]
οἴδατε [00014]
οἶδε [00019] [00019]
οἰκείας [00108]
οἰκίαι [00078]
οἶκοι [00081]
Οἰκτίρμων [00061]
οἴχεται [00023]
ὀλίγον [00052] [00054] [00067] [00070]
ὁλόκληρον [00075]
ΟΜΙΛΙΑ [00001]
ὁμοῦ [00005] [00005]
ὅμως [00097]
Ὄντως [00107]
ὁρᾷν [00011]
ὀργὴ [00098] [00101]
ὀργὴν [00095] [00099] [00103]
ὁρῶ [00024]
Ὁρῶ [00025]
ὅσῳ [00086]
Ὅσῳ [00007]
ὅταν [00068]
ὅτι [00047] [00055] [00073] [00085] [00097] [00097] [00097] [00109] [00113]
Οὐ [00046]
οὐ [00008] [00009] [00014] [00073] [00091]

**οὐδ** [00076]
**οὐδαμοῦ** [00079]
**οὐδὲ** [00008] [00057]
**Οὐδεὶς** [00038] [00076]
**οὐδεὶς** [00076] [00077] [00077]
**Οὐδενὸς** [00102]
**Οὐκ** [00014] [00104]
**οὐκ** [00002] [00008] [00008] [00013] [00019] [00019] [00080]
**Οὐκέτι** [00057]
**οὐρανοὶ** [00100]
**οὐρανὸν** [00072]
**οὔτε** [00004] [00004]
**Οὗτος** [00018]
**Οὕτω** [00011]
**οὕτω** [00010] [00013] [00013] [00037] [00040] [00040]
**οὕτως** [00013] [00040]
**οὐχ** [00062] [00064] [00097]
**ὄφεις** [00040]

**πάθη** [00039] [00040] [00075]
**πάθος** [00044] [00044]
**παιδὸς** [00011]
**Πάλιν** [00113]
**παννυχίδα** [00030]
**παννυχίδας** [00113]
**παννυχίσι** [00014]
**παννυχίσιν** [00075] [00118]
**Πάντα** [00023]
**πάντα** [00053] [00102]
**πάντες** [00082]
**παραδίδωμι** [00068]
**παραθεῖναι** [00024]
**παρανομίας** [00076] [00110]
**παραῤῥέων** [00036]
**παρεγενόμην** [00062]
**παρεμυθήσατο** [00003]
**παρεσκεύασαν** [00029]
**παρεσκευασμένην** [00024]
**παῤῥησιάζεσθαι** [00046]
**πᾶσαν** [00030]
**Πατρὶ** [00118]
**Παῦλον** [00091]
**πένητας** [00018]
**πένητες** [00091]
**πενήτων** [00090] [00115]
**πενίαν** [00019]
**πεποίηκεν** [00020]
**περὶ** [00076]
**περιβεβλημένοι** [00021]
**περιπάτῳ** [00030]
**περιπλέκεσθαι** [00008]
**περιῤῥεομένους** [00003]
**περιῤῥέονται** [00027]
**περιφέροντες** [00041]
**περιφέρουσι** [00042]
**πηγαὶ** [00026]
**πηγνύντος** [00040]
**πηγνύοντος** [00049]
**πλεονέκτου** [00044]
**πλεονεξίας** [00039] [00076] [00109]
**πλησίον** [00077]
**πλούσιοι** [00089]
**πλουσίους** [00018]
**πλουσίων** [00112]
**πλουτίζουσα** [00018]
**πλοῦτον** [00019]
**Πνεύματι** [00118]
**πνευματικὴν** [00002]
**πνευματικὸς** [00037]
**πνίγουσαι** [00057]
**ποδῶν** [00030]
**πόθεν** [00109] [00113]
**πόθος** [00016] [00086]
**ποιῶ** [00067] [00069]
**πόλει** [00028]
**πόλεως** [00104] [00107]
**πόλιν** [00030] [00035] [00037] [00048] [00050] [00092] [00095] [00108] [00108] [00116]
**πόλις** [00097] [00101] [00109] [00113]
**Πολλαὶ** [00026]
**πολλάκις** [00011]
**πολλῇ** [00075]
**πολλῷ** [00003] [00027] [00037]
**πολυέλεος** [00061]
**πόνον** [00003]
**πόνος** [00005] [00006]
**πόνων** [00027]
**ποταμὸς** [00037]
**Ποῦ** [00021] [00089] [00105]
**ποῦ** [00022] [00106]
**πράγματα** [00073]
**πραγμάτων** [00093]
**προαίρεσιν** [00017]
**πρόοδος** [00018] [00018] [00018]
**πρὸς** [00054] [00067] [00070] [00072]
**προσειπών** [00104]
**Προσέχετε** [00065]
**προσηλωμένοι** [00009]
**προτιμότερα** [00007]
**πύργοι** [00107]

**ῥείθρῳ** [00037]
**ῥέουσαν** [00099]
**ῥίζαν** [00055]
**ῥοπῆς** [00013]

**σαθρὰν** [00050]
**σαλεύοντος** [00049]
**σαλεύσαντα** [00116]
**σαλεύσῃ** [00094]
**σάλπιγγος** [00060]

**Σατανικὰ** [00029]
**Σατανικά** [00077]
**σειομένην** [00092]
**σείοντος** [00048]
**ΣΕΙΣΜΟΝ** [00001]
**σεισμὸς** [00020] [00053] [00060] [00063]
**σεισμοῦ** [00018]
**σεισμῶν** [00047]
**σήμερον** [00008] [00027] [00031]
**σηρικὰ** [00021]
**σιγῶ** [00059]
**Σίλαν** [00091]
**σιωπῇ** [00004]
**σιωπῶ** [00060]
**σπέρματα** [00069]
**στεναγμῶν** [00102]
**στέφανος** [00028]
**στηρίζοντος** [00048]
**στήσαντα** [00116]
**συγκαλύπτεται** [00040]
**σύμμαχός** [00058]
**συμπόσια** [00029] [00077]
**συνειδός** [00026]
**συνεμάχησεν** [00066]
**συνεχώρησε** [00009]
**συνήγαγον** [00029]
**συντεινέσθω** [00012]
**συντεταμένην** [00017]
**σφίγξω** [00068]
**σῶμα** [00012]
**σώματα** [00017] [00025] [00040] [00085]
**σώματος** [00006] [00007]
**σωτῆρας** [00104]
**σωτῆρες** [00106] [00117]

**Τὰ** [00116]
**τὰ** [00007] [00017] [00021] [00025] [00039] [00040] [00040] [00040] [00040] [00040] [00040] [00059] [00069] [00073] [00075] [00079] [00085] [00093] [00116]
**ταῖς** [00014] [00118] [00118]
**τὰς** [00014] [00109] [00109] [00109] [00110] [00110] [00110] [00113] [00113] [00113]
**Ταῦτα** [00063] [00067] [00114]
**ταῦτα** [00040] [00060] [00073] [00096]
**ταύτης** [00008]
**τε** [00005] [00005] [00045]
**τεῖχος** [00107]
**τέλεον** [00009]
**τέλη** [00093]
**τῇ** [00004] [00008] [00009] [00013] [00013] [00028] [00030] [00069]
**τηκόμενον** [00011]
**τὴν** [00002] [00002] [00003] [00003] [00004] [00013] [00017] [00017] [00020] [00024] [00024] [00025] [00030] [00030] [00035] [00035] [00037] [00045] [00045] [00045] [00045] [00045] [00046] [00050] [00050] [00051] [00069] [00075] [00075] [00084] [00084] [00084] [00090] [00092] [00094] [00095] [00095] [00099] [00103] [00108] [00108] [00116]
**τῆς** [00002] [00003] [00004] [00006] [00008] [00016] [00027] [00037] [00039] [00039] [00074] [00093] [00104] [00107] [00108] [00108]
**Τί** [00070] [00074]
**τιμωρία** [00066]
**τινα** [00040]
**Τινὲς** [00029]
**Τίνος** [00111]
**τίνων** [00114]
**Τίς** [00013]
**τις** [00038] [00104] [00109] [00113]
**Τὸ** [00028]
**τὸ** [00010] [00010] [00012] [00013] [00016] [00026] [00028] [00035] [00044] [00044] [00046] [00067] [00092] [00094] [00100] [00110]
**τόκων** [00076]
**ΤΟΝ** [00001]
**τὸν** [00003] [00011] [00014] [00014] [00027] [00030] [00037] [00053] [00074] [00077] [00084] [00084] [00094] [00094] [00118]
**τόπος** [00034]
**τόπῳ** [00072]
**τοσαύτην** [00030]
**τοσοῦτον** [00007] [00017]
**τοσούτῳ** [00086]
**τότε** [00068]
**τοῦ** [00003] [00008] [00011] [00015] [00016] [00017] [00018] [00020] [00026] [00033] [00037] [00037] [00040] [00044] [00045] [00055] [00079] [00081] [00081] [00093] [00094] [00095] [00101]
**τοὺς** [00018] [00018] [00118]
**τοῦτο** [00004] [00008]
**τράπεζαν** [00024] [00029]
**τρόπῳ** [00072]
**τυραννὶς** [00015]
**τῷ** [00009] [00017] [00030] [00033] [00037] [00055] [00065] [00068] [00072] [00072] [00118] [00118] [00118]
**τῶν** [00018] [00023] [00023] [00027] [00027] [00027] [00030] [00047] [00058] [00090] [00093] [00094] [00097] [00112] [00115] [00118]

**ὑβρίζει** [00077]
**ὑγείαν** [00003]
**ὑδάτων** [00037]
**Υἱῷ** [00118]
**ὑμᾶς** [00002] [00003] [00027] [00058] [00062] [00062] [00064] [00068] [00104]
**ὑμεῖς** [00004] [00030] [00087] [00088] [00092] [00095] [00107] [00108] [00117]
**ὑμέτερα** [00116]
**ὑμετέραν** [00024]
**ὑμέτερον** [00003] [00028]
**ὑμῖν** [00010] [00015] [00024] [00067] [00087] [00088]
**ὑμνοῦντος** [00081]
**ὑμνῳδίας** [00081]
**ὑμῶν** [00002] [00008] [00013] [00025] [00028] [00030] [00043] [00055] [00085] [00086] [00097] [00097] [00098]
**ὑπὲρ** [00013] [00027] [00093]
**ὑπερηφανίαν** [00045] [00045]
**ὑπερηφανίας** [00110]
**ὑπερηφάνου** [00045]
**ὕπνου** [00015]
**ὑπὸ** [00011]

**φερόμενος** [00037]
**φθέγγεται** [00059]
**Φθόνον** [00075]
**φιλανθρωπίαν** [00048] [00051]
**φιληκοΐᾳ** [00013]
**φιλοσοφίαν** [00090]
**φόβος** [00058] [00066]
**φόβῳ** [00055]
**φόβων** [00018]
**φρονήματα** [00049]
**φύλλα** [00027]

**φυομένας** [00069]
**φύσεως** [00016]
**φύσιν** [00017]
**φωλεύει** [00040]
**φωνὴ** [00044] [00099]
**φωνή** [00098]
**φωνὴν** [00060] [00063]
**φωνῆς** [00039]
**φωτίζοντες** [00014]

**χαίρω** [00097]
**χείμαῤῥος** [00036] [00037]
**χειμῶνι** [00040]
**χειμῶνος** [00043]
**χεῖρες** [00076]
**χειρὶ** [00069]
**χθὲς** [00047]
**χορείαν** [00002]
**χορεῦσαι** [00002]
**χοροὶ** [00079] [00080] [00080]
**χρείαν** [00102]
**Χριστοῦ** [00016]
**χρόνον** [00053]
**χρυσός** [00022]

**ψάλλετε** [00092]
**ψάλλοντες** [00087] [00088]
**ψάλλοντος** [00081]
**ψαλμῳδίαι** [00097]
**ψαλμῳδίαις** [00118]
**ψαλμῳδίας** [00003] [00031] [00113]
**ψεῦδος** [00110]
**ψυχὴ** [00007]
**ψυχὴν** [00025]
**ψυχῆς** [00006]

ᾧ [00034]
**ᾠκονομήθη** [00096]
**ὡμολόγηται** [00109] [00113]
**ὡς** [00031]
**Ὥσπερ** [00010]
**ὥστε** [00117]